Ακαδημία Αθηνών / Academy of Athens



*οὔτε σώμασιν οὔτε χρήμασιν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀρθοσύνῃ καὶ π ο λ υ φ ρ ο σ ύ ν ῃ.*

**πομφολυγώδης.** Φυσαλιδόμορφος, bubble-shaped, Δημόκριτος 5 (DK II 137,28) *π ο μ φ ο λ υ γ ώ δ ε ι ς ὑμένας.*

**πομφόλυξ.** Φυσαλίδα, bubble, Δημόκριτος 5 (DK II 136,42) *ὑμένες ἐοικότες π ο μ φ ό λ υ ξ ι ν.*

**πονεῖν.** Κοπιάζω/μοχθῶ, labour, Δημόκριτος 179 *μὴ π ο ν ε ῖ ν παῖδες ἀνιέντες οὔτε γράμματ' ἂν μάθοιεν οὔτε μουσικὴν οὔτε ἀγωνίην οὐδ' ὅπερ μάλιστα τὴν ἀρετὴν συνέχει, τὸ αἰδεῖσθαι* 243 *τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν π ο ν έ ο υ σ ι τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες. ἐν δὲ ἑκάστῃ ἀποτυχίῃ τὸ π ο ν ε ῖ ν (?) ὁμοίως ἀνιηρὸν καὶ ταλαίπωρον.* Πρβλ. *πόνος.*

**πονηρεύεσθαι.** Εἶμαι κακὸς/συμπεριφέρομαι πονηρά, be wicked/behave cunningly, Ἡράκλειτος 125a *μὴ ἐπιλίποι ὑμᾶς πλοῦτος ... Ἐφέσιοι, ἵν' ἐξελέγχοισθε π ο ν η ρ ε υ ό μ ε ν ο ι.*

**πονηρός.** Πονηρός, wicked, Δημόκριτος 192 *ἔστι ῥᾴδιον μὲν ἐπαινεῖν ἃ μὴ χρὴ καὶ ψέγειν, ἑκάτερον δὲ π ο ν η ρ ο ῦ τινος ἤθους.* Πρβλ. *κακός, φαῦλος.*

**πόνος.** Κόπος/μόχθος, toil/hard work, Ξενοφάνης 25 *ἀλλ' ἀπάνευθε π ό ν ο ι ο νόου φρενὶ πάντα κραδαίνει* Δημόκριτος 157 *τήν τε πολιτικὴν τέχνην μεγίστην οὖσαν ἐκδιδάσκεσθαι καὶ τοὺς π ό ν ο υ ς διώκειν* 182 *τὰ μὲν καλὰ χρήματα τοῖς π ό ν ο ι ς ἡ μάθησις ἐξεργάζεται, τὰ δ' αἰσχρὰ ἄνευ π ό ν ω ν αὐτόματα καρποῦται* 240 *οἱ ἑκούσιοι π ό ν ο ι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέρην παρασκευάζουσι* 241 *π ό ν ο ς συνεχὴς ἐλαφρότερος ἑαυτοῦ συνηθείῃ γίνεται* 243 *τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες.*

**πόντος.** Θάλασσα, sea, Ξενοφάνης 30.3-5 *οὔτε γὰρ ἐν νέφεσιν ... ἄνευ π ό ν τ ο υ μεγάλοιο οὔτε ῥοαὶ ποταμῶν οὔτ' αἰ⟨θέρος⟩ ὄμβριον ὕδωρ, ἀλλὰ μέγας π ό ν τ ο ς γενέτωρ νεφέων ἀνέμων τε καὶ ποταμῶν* Ἐμπεδοκλῆς 38.3 *γαῖά τε καὶ π ό ν τ ο ς πολυκύμων ἠδ' ὑγρὸς ἀὴρ Τιτὰν ἠδ' αἰθὴρ σφίγγων περὶ κύκλον ἅπαντα* 115.9-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει, πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ' ἐς αὐγὰς ἠελίου φαέθοντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις.*

**πορεία.** Πορεία/διαδρομή, way/course, Δημόκριτος 126 *ὅσα κυματοειδῶς ἀνὰ τὴν πορείαν πλάζεται.*

**πορθμός.** Ἄνοιγμα/στόμιο, opening, Ἐμπεδοκλῆς 100.10-17 *αὐλοῦ πορθμὸν ... ὅθ' ὕδωρ μὲν ἔχῃ κατὰ βένθεα χαλκοῦ πορθμοῦ χωσθέντος βροτέῳ χροῒ ἠδὲ πόροιο. Πρβλ. πόρος, στόμιον.*

**πορίζω.** Πορίζομαι/ἀποκτῶ, obtain/acquire, Δημόκριτος 78 *χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ πάντων κάκιον.*

**πόρος 1.** Πόρος/πηγή, way/source, Ἐμπεδοκλῆς 35.1 *αὐτὰρ ἐγὼ παλίνορσος ἐλεύσομαι ἐς πόρον ὕμνων* **2.** Πόρος/δίοδος, passage, Ἐμπεδοκλῆς 3.12 *ἀλλ' ἄγ' ἄθρει πάσῃ παλάμῃ, πῇ δῆλον ἕκαστον, μήτε τιν' ὄψιν ἔχων πίστει πλέον ἢ κατ' ἀκουὴν ἢ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης, μήτε τι τῶν ἄλλων, ὁπόσῃ πόρος ἐστὶ νοῆσαι, γυίων πίστιν ἔρυκε, νόει δ' ᾗ δῆλον ἕκαστον* **3.** Πόρος/ὀπή, opening, Ἐμπεδοκλῆς Α 87 (DK I 306,3) *πόρους καὶ ναστά,* καὶ τοὺς μὲν *πόρους* ἐκάλεσε *κοῖλα,* τὰ δὲ *ναστὰ* πυκνὰ 100.17 *ὣς δ' αὔτως, ὅθ' ὕδωρ μὲν ἔχῃ κατὰ βένθεα χαλκοῦ πορθμοῦ χωσθέντος βροτέῳ χροῒ ἠδὲ πόροιο* Δημόκριτος Α 77 (DK II 103,23) *ἐγκαταβυσσοῦσθαι τὰ εἴδωλα διὰ τῶν πόρων εἰς τὰ σώματα* καὶ ποιεῖν τὰς κατὰ ὕπνον ὄψεις *ἐπαναφερόμενα.* Πρβλ. *πορθμός, κέλευθος.*

**πορσύνειν.** Δημιουργῶ/κατασκευάζω, create/construct, Ἐμπεδοκλῆς 23.5 *ἐκ τῶν εἴδεα πᾶσιν ἀλίγκια πορσύνουσι.* Πρβλ. *κτίζω.*

**ποτάγορος.** Σύστοιχος/συμβλητός, commensurable/comparable, Φιλόλαος 11.12 *νῦν δὲ οὗτος (*sc. *ἀριθμός) καττὰν ψυχὰν ἁρμόζων αἰσθήσει πάντα γνωστὰ καὶ ποτάγορα ἀλλάλοις κατὰ γνώμονος φύσιν ἀπεργάζεται.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ